Κοράδου, τοῦ νοταρίου, τῆς ἡμετέρας αὐλῆς καγγελαρίου, ταύτην προσετάξαμεν βεβαιωθῆναι. ἐδόθη ἐν τῷ ἡμετέρῳ δουκικῷ παλατίῳ τρέχοντος τοῦ ἔτους ἀπὸ τῆς ἐνσαρκώσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ χιλιοστοῦ διακοσιοστοῦ ἑβδομηκοστοῦ ἕκτου, μηνὶ σεπτεβρίῳ, ἡμέρᾳ δευτέρᾳ ἐξερχομένῃ ἰνδικτιῶνος πέμπτης.

Ἐγὼ ὁ Κοράδος, νοτάριος καὶ τῆς δουκικῆς αὐλῆς τῆς Βενετίας καγγελάριος, ἐξ ἐντολῆς τοῦ προρρηθέντος κυροῦ δουκὸς καὶ τῆς βουλῆς αὐτοῦ ἐπλήρωσα καὶ ἐστερέωσα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ἐκ δὲ τῶν διαληφθέντων πρέσβεων ὁ μὲν Γραδενίκος συμπαραγενόμενος μέχρι τῆς βασιλείας ἡμῶν λόγοις οἷς οἶδε θεὸς τὸν τῆδε βίον μετήλλαξε, καὶ πρὸς τὴν αἰωνίαν μετῆρε ζωήν, ὁ δὲ εὐγενὴς ἀνὴρ, ὁ σὺρ Μάρκος Μπέμπος, καὶ μόνος καταλειφθεὶς ἐτρακτάϊσε τοὺς τῆς συμφωνίας λόγους μετὰ τῆς βασιλείας ἡμῶν, ὡς ἔχων καὶ οὕτω πλήρη ἐξουσίαν κατὰ τὴν περίληψιν τῆς διαληφθείσης ἀναθέσεως καὶ προκουρατορίας αὐτοῦ, καὶ κατήντησεν εἰς πέρας τῆς συμβιβάσεως. ἡ βασιλεία μου, ἐφιεμένη ὡς ἐρατὴς τῆς εἰρήνης ἔχειν μετὰ πάντων τῶν χριστιανῶν ἕνωσιν καὶ ἀγάπην, συγκατένευσε καὶ συνῆλθε μετὰ τοῦ τοιούτου εἰς καθαρὰν τρέβαν καὶ συμβίβασιν, καθὼς ἐν τοῖς κάτωθεν γεγραμμένοις περιέχεται κεφαλαίοις, ὅθεν καὶ ὀμνύομεν ὑπὲρ ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν κατὰ τὴν τῶν Γραικῶν συνήθειαν, ἵνα ἔχωμεν καὶ φύλασσωμεν δι' ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν τῷ ἐπιφανεῖ δουκὶ καὶ τῷ κουμουνίῳ καὶ τοῖς ἀνθρώποις Βενετίας καὶ τοῖς διαδόχοις αὐτῶν ἀληθῆ καὶ καθαρὰν τρέβαν κατά τε θάλασσαν καὶ ξηρὰν ἄνευ παντὸς δόλου ἀπὸ τῆς σήμερον, ἥτις ἐστὶν ἐννακαιδεκάτη τοῦ παρόντος μαρτίου μηνὸς τῆς πέμπτης ἰνδικτιῶνος ἔτει ἀπὸ τῆς καταστάσεως κόσμου ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ πέμπτῳ εἴτουν ἀπὸ τῆς ἐνσαρκώσεως τοῦ κυρίου χιλιοστῷ διακοσιοστῷ ἑβδομηκοστῷ ἑβδόμῳ μέχρι καὶ συμπληρώσεως δύο ἐτῶν καὶ τοσοῦτον πλέον, ὅσον ἐσεῖται ἐκ συμβιβά-

Ε. Α. τηρ. Κ. τ. Π. ΙΩΑΝΝΙΝΑ 2006

σεως καὶ θελήσεως ἀμφοτέρων τῶν μερῶν, οὕτω δ' ὅμως ὅτι, συμπληρουμένων τῶν δύο ἐτῶν, εἰ καὶ τῆς εἰς τὸ ἑξῆς παρατάσεως τῆς ἐκ συμβιβάσεως καὶ θελήσεως ἀμφοτέρων τῶν μερῶν, οἷον τῶν μερῶν τὴν τοιαύτην τρέβαν οὐ θελήσει ἐπέκεινα τοῦ ῥηθέντος ὅρου, ἐνέχηται δι' ἓξ μηνῶν τῷ ἑτέρῳ μέρει δηλοποιεῖν, ὡς ταύτην οὐ θέλει, καὶ ἵνα ἡ τρέβα ἄνευ καταλύσεως φυλάττηται ἐντὸς τοῦ ῥηθέντος ὅρου τῶν ἓξ μηνῶν, καὶ τὸ ἓν μέρος μὴ καταβλάπτῃ τὸ ἄλλο, ἀλλὰ πάντα τὰ ὑπισχεθέντα κατὰ τὸ ὕφος τῆς τρέβας παντοιοτρόπως φυλάσσωνται, καὶ ἵνα μὴ βλάφῃ αὐτοὺς ἡ βασιλεία μου ἢ τὸν λαὸν αὐτῶν ἢ βλάψαι ποιήσῃ ἢ παραχωρήσῃ δι' ἑαυτῆς ἢ δι' ἄλλων τινὶ τρόπῳ ἢ μηχανῇ. ἔτι περὶ τῆς νήσου αὐτῶν τῆς Κρήτης ἢ τινος μέρους αὐτῆς οὐ μὴν παρενοχλήσῃ τοὺς τοιούτους Βενετίκους ἡ βασιλεία μου ἢ τὸν λαὸν αὐτῶν, ἀλλ' οὐδὲ παρενοχλῆσαι ποιήσῃ ἢ παραχωρήσῃ δι' ἑαυτῆς ἢ τοῦ λαοῦ αὐτῆς τινὶ τρόπῳ ἢ μηχανῇ· καὶ ἵνα τοὺς ἀνθρώπους, οὓς ἔχει ἡ βασιλεία μου εἰς τὸ τοιοῦτον νησίον, ἐκβάλῃ ἐκεῖθεν. ἵνα τὰς χώρας αὐτῶν τῆς Κορώνης καὶ τῆς Μεθώνης, καθὼς ἔχουσι ταύτας καὶ κρατοῦσι μετὰ τῶν δικαίων καὶ τιμῶν αὐτῶν, οὐ μὴν παρενοχλήσῃ ἡ βασιλεία μου ἢ παρενοχλῆσαι ποιήσῃ δι' ἑαυτῆς ἢ διὰ τοῦ λαοῦ αὐτῆς ἢ παραχωρήσῃ γενέσθαι ὄχλησιν τινὶ πρόπῳ ἢ μηχανῇ. ἵνα ἔχωσιν ἄδειαν ὅ τε δοὺξ καὶ ἡ Βενετία βοηθεῖν καὶ δεφενδεύειν τὸ νησίον τοῦ Εὐρίπου καὶ τοὺς ἐν τῷ Εὐρίπῳ ἐξ ἐναντίας τῆς βασιλείας ἡμῶν καὶ τοῦ λαοῦ τῆς βασιλείας ἡμῶν καὶ τῶν ἄλλων πάντων πᾶσι τρόποις. ἡ δὲ βασιλεία ἡμῶν ἵνα ἔχῃ ἐπ' ἀδείας, καθὼς ἂν ἔχῃ βουλήσεως καὶ δυνάμεως, μάχεσθαι κατὰ τοῦ τοιούτου νησίου τῆς Εὐρίπου καὶ κατὰ πάντων τῶν εὑρισκομένων εἰς βοήθειαν καὶ δεφένδευσιν αὐτοῦ ἐν τῷ τοιούτῳ νησίῳ τῆς Εὐρίπου. ἵνα τε δι' αἴτησιν τοῦ ἐπιφανοῦς δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας παραδέξηται καὶ ἔχῃ ἡ βασιλεία ἡμῶν ἐντὸς τῆς τοιαύτης τρέβας τόν τε Μάρκον Σανοῦτον καὶ τὸν Βαρθολομαῖον Γίζον μετὰ τοῦ λαοῦ αὐτῶν καὶ τῶν νησίων αὐτῶν καὶ τῶν κατεχομένων παρ' αὐτῶν, πλὴν μετὰ τοιοῦδε τρόπου, ἵνα, καθὼς καὶ αὐτοὶ ὑπὲρ αὐτῶν ᾐτήσαντο, φυλάσσωσι καὶ οὗτοι, ἤγουν ὁ αὐτὸς Μάρκος Σανοῦτος καὶ ὁ Βαρθολομαῖος Γίζος, μετὰ τοῦ λαοῦ αὐτῶν καὶ τῶν νησίων αὐτῶν καὶ τῶν κατεχομένων παρ' αὐτῶν τὴν αὐτὴν τρέβαν πρὸς τὴν βασιλείαν ἡμῶν καὶ ἅπαν τὸ μέρος καὶ

τὴν χώραν τῆς βασιλείας ἡμῶν, καὶ οὐ μὴν συνέλθωσιν ἢ συνελθεῖν ποιήσωσι τρόπῳ τινὶ ἢ μηχανῇ μετά τινος τῶν ἐχθρῶν τῆς βασιλείας ἡμῶν ἐπὶ βλάβῃ καὶ ζημίᾳ οἱαδήτινι κατά τινος τοῦ μέρους τῆς βασιλείας ἡμῶν, ἀλλ' οὐδὲ κουρσαρίους ἵνα ἀναδέχωνται καὶ παραλαμβάνωσιν ἐρχομένους κατὰ τῶν χωρῶν τῆς βασιλείας ἡμῶν. ἐὰν δὲ κατά τινος τῶν εἰρημένων ποιήσωσιν, οὐ μὴ ἐνέχηται ἡ βασιλεία ἡμῶν φυλάσσειν αὐτοὺς εἰς τὴν τοιαύτην τρέβαν, ἀλλὰ κατ' αὐτῶν μὲν ἵνα ἐκδικῆται· ἡ δὲ μέσον τῆς βασιλείας ἡμῶν καὶ τῆς Βενετίας τρέβα οὐ μὴ καταλύηται διὰ σφάλμα τι συμβησόμενον παρὰ τῶν δηλωθέντων, ἀλλ' ἵνα διαμένῃ αὖθις στερεά. ἔτι ἵνα δώσει αὐτοῖς ἡ βασιλεία μου ἐν τῇ Κωνσταντινουπόλει ἐντὸς τοῦ περιόρου τοῦ ἀπὸ τῆς πόρτης τῶν Δρουγγαρίων ἀρχομένου καὶ ἐρχομένου ἀπὸ τοῦ ἁγίου Ἀκινδύνου εἰς ἀριστερὰν χεῖρα καὶ ἐρχομένου διὰ τοῦ βήματος τῆς ἐκκλησίας τῆς ὑπεραγίας θεοτόκου πρὸς τὴν ὁδὸν τῶν Ζωναρῶν, ἐρχομένου κάτωθεν μέχρι τῆς πόρτας τοῦ Περάματος καὶ ἀπὸ τῆς πόρτης τοῦ Περάματος μέχρι τῆς πόρτης τῶν Δρουγγαρίων ἐντὸς τοῦ τείχους ὀσπήτια οὕτως, ἤγουν ἓν χάριν καταμονῆς τοῦ μπαΐούλου, ἕτερον ἓν χάριν καταμονῆς τῶν συμβούλων αὐτοῦ καὶ ἕτερον ἓν χάριν ἀποθήκης τοῦ πράγματος τοῦ κουμουνίου Βενετίας· χάριν δὲ τῶν ἀπὸ τῶν ἔξωθεν ἐρχομένων πραγματευτῶν βενετίκων ἵνα ἐνοικιάζωνται παρὰ τῆς βασιλείας μου πέριξ τῶν εἰρημένων τριῶν ὀσπητίων ἕτερα ὀσπήτια εἰκοσιπέντε, καὶ διδῶνται ταῦτα πρὸς αὐτοὺς ἄνευ ἐνοικίου εἰς καταμονὴν αὐτῶν· ὅταν δὲ πλείονες ἔρχωνται πραγματευταὶ βενέτικοι, ἵνα διδῶνται πρὸς αὐτοὺς κατὰ τὸν ὅμοιον τρόπον ἐν τῇ τοιαύτῃ Κωνσταντινουπόλει καὶ τοσούτῳ πλείονα ὀσπήτια, ὅσῳ ἂν ὦσιν ἀρκοῦντα πρὸς καταμονὴν αὐτῶν, ὥσπερ ὅταν ἔρχωνται ἐλάττονες πρὸς τὴν χρείαν τῶν εἰκοσιπέντε ὀσπητίων, ἵνα διδῶνται αὐτοῖς ἐλάττοσι τὰ ἀρκοῦντα ὁμοίως εἰς καταμονήν, καὶ τὰ περιττεύοντα ὀσπήτια ἀπὸ τῶν εἰκοσιπέντε ὀσπητίων ἢ τῶν πλειόνων κατὰ τὸν εἰρημένον τύπον ἵνα ἐναπολιμπάνωνται εἰς τοὺς οἰκοδεσπότας αὐτῶν, καὶ αὖθις ἐρχομένων τῶν πραγματευτῶν βενετίκων ἵνα διδῶνται πάλιν αὐτοῖς κατὰ τὸν ὅμοιον τρόπον οἰκήματα τὰ ἀρκοῦντα αὐτοῖς εἰς καταμονήν. ἵνα δὲ δώσει αὐτοῖς ἡ βασιλεία μου καὶ ἐκκλησίας δύο ἐν τῇ Κωνσταντινουπόλει, τὴν τῆς ὑπεραγίας θεοτόκου καὶ τὴν τοῦ ἁγίου Μάρκου ὁμοίως ἵνα δώσει αὐτοῖς ἡ βασιλεία μου καὶ ἐν τῇ πόλει Θεσσαλο-

νίκῃ τὴν ἐκκλησίαν, ἣν κατεῖχον οἱ Ἀρμένιοι, καὶ πέριξ τῆς τοιαύτης ἐκκλησίας ὀσπήτια οὕτως, ἤγουν ἓν χάριν καταμονῆς τοῦ κονσούλου, ἕτερον ἓν χάριν καταμονῆς τῶν συμβούλων αὐτοῦ καὶ ἕτερον ἓν χάριν ἀποθήκης τοῦ πράγματος τοῦ κουμουνίου τῆς Βενετίας, χάριν δὲ τῶν ἀπὸ τῶν ἔξωθεν ἐρχομένων πραγματευτῶν βενετίκων ἵνα ἐνοικιάζωνται παρὰ τῆς βασιλείας μου ἕτερα ὀσπήτια εἰκοσιπέντε, καὶ διδῶνται ταῦτα πρὸς αὐτοὺς ἄνευ ἐνοικίου εἰς καταμονὴν αὐτῶν· ἐὰν δὲ πλείονες ἔρχωνται πραγματευταὶ βενέτικοι, ἵνα διδῶνται πρὸς αὐτοὺς κατὰ τὸν ὅμοιον τρόπον ἐν τῇ αὐτῇ πόλει Θεσσαλονίκῃ καὶ τοσούτῳ πλείονα ὀσπήτια, ὅσῳ ἂν ὦσιν ἀρκοῦντα εἰς καταμονὴν αὐτῶν, ὥσπερ ἐὰν ἔρχωνται ἐλάττονες πρὸς τὴν χρείαν εἰκοσιπέντε ὀσπητίων, ἵνα διδῶνται αὐτοῖς ἐλάττοσι τὰ ἀρκοῦντα ὁμοίως εἰς καταμονήν, καὶ τὰ περιττεύοντα ὀσπήτια ἀπὸ τῶν εἰκοσιπέντε ὀσπητίων ἢ τῶν πλειόνων κατὰ τὸν εἰρημένον τύπον ἵνα ἐναπολιμπάνωνται εἰς τοὺς οἰκοδεσπότας αὐτῶν, καὶ αὖθις ἐρχομένων ὁμοίως τῶν πραγματευτῶν βενετίκων ἵνα διδῶνται πάλιν αὐτοῖς κατὰ τὸν ὅμοιον τρόπον ὀσπήτια τὰ ἀρκοῦντα αὐτοῖς εἰς καταμονήν. εἰς δὲ τὰς ἑτέρας χώρας τῆς βασιλείας μου ἐν τῷ ἔρχεσθαι αὐτοὺς ἵνα ἐπαίρωσι μετὰ τοῦ ἐνοικίου ἢ φυτειατικοῦ αὐτῶν οἴκους, φούρνους καὶ λοετρὰ ἐν ἐκείνοις τοῖς τόποις, ἐν οἷς φανῇ αὐτοῖς ἀρεστόν, ἄνευ ἀντιλογίας τινός. ἔτι οἱ βενέτικοι γασμοῦλοι καὶ οἱ κληρονόμοι αὐτῶν, οὓς εἶχε καὶ ἐκράτει ὁ ποτεστάτος τῶν Βενετίκων, ὅτε κατεῖχον τὴν Κωνσταντινούπολιν, ἵνα ὦσιν ἐλεύθεροι καὶ φράγγοι ὡς Βενέτικοι. ἵνα ἔχωσι μέτρα, στατῆρας, μοδίους, λίτρας, πήχεις εἰς τὸ μετρεῖν καὶ σταθμίζειν ἔν τε τῇ Κωνσταντινουπόλει καὶ ταῖς ἑτέραις χώραις τῆς βασιλείας ἡμῶν, ἔνθα εἰσὶν ἢ κατοικοῦσιν. ἵνα παραχωρήσῃ ἡ βασιλεία μου ἔχειν ἱερεῖς, ἐκκλησίας καὶ βάπτισμα κατὰ τὸ ἔθος αὐτῶν ἔν τε τῇ Κωνσταντινουπόλει καὶ ταῖς ἄλλαις χώραις τῆς βασιλείας ἡμῶν, ἥτις ἐκκλησία καὶ ἱερεῖς καὶ βάπτισμα ἵνα ὦσιν ἐκβεβλημένα τῆς δυνάμεως τῆς βασιλείας ἡμῶν καὶ τῆς ἀνακρίσεως αὐτῆς, ἕστ' ἂν τελειωθῇ ὁ καιρὸς τῆς τοιαύτης τρέβας. ἵνα μὴ διὰ τὴν τοιαύτην τρέβαν ἀποδιωχθῶσιν οἱ Γεννουῖται ἀπὸ τῆς Κωνσταντινουπόλεως ἢ τῆς βασιλείας ἡμῶν, ἀλλὰ μόνον γίνηται παρὰ τῆς βασιλείας ἡμῶν ἀσφάλεια μέσον τῶν Βενετίκων καὶ τῶν Γεννουῒτῶν, ὥστε μὴ καταβλάπτεσθαι τοὺς Βενετίκους παρὰ τῶν Γεννουῒτῶν, μήτε μὴν πάλιν τοὺς Γεννουῒτας

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΙΔΑΓΩΓΙΚΗΣ ΚΑΙ ΨΥΧΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ... ΠΕΛΕΓΡΙΝΗΣ
Εργ. Δ... Κ... 2006 ΙΩΑΝΝΙΝΑ

παρὰ τῶν Βενετίκων ἀπό τε εἰσόδου τῆς Ἀβύδου καὶ ἔσωθεν κατά τε θάλασσαν καὶ ξηράν, εἰς οἷον ἐντύχωσι μέρος οἱ Βενέτικοι καὶ οἱ Γεννουῖται, καὶ ἐν αὐτῇ δὲ τῇ μεγάλῃ θαλάσσῃ. ἐὰν συμβῇ γενέσθαι τινὰ βλάβην ἢ ζημίαν ἐντὸς τῶν τοιούτων συνόρων τῆς δηλωθείσης χώρας τῆς βασιλείας ἡμῶν ἀπὸ Βενετίκου εἰς Γεννουίτην, ἵνα ἀντιλαμβάνηται ἡ βασιλεία ἡμῶν τοῦ βλαβέντος καὶ ζημιωθέντος μέρους, καὶ ἱκανοῖ τούτῳ τὴν βλάβην καὶ τὴν ζημίαν ἀπὸ τοῦ πράγματος τοῦ βλάψαντος μέρους καὶ ζημιώσαντος τοῦτο μέχρι συμπληρώσεως ἡμίσεος χρόνου· ἐὰν δὲ οὐχ εὑρήσει ἡ βασιλεία ἡμῶν ἐπαρεῖν πρᾶγμα ἀπὸ τοῦ τοιούτου μέρους τοῦ μὴ φυλάξαντος τὴν συμφωνίαν καὶ ἱκανῶσαι τὸ ζημιωθὲν μέρος, ἵνα ἱκανοποιῇ ταύτην ἡ βασιλεία μου ἀπὸ τοῦ βεστιαρίου αὐτῆς, ἔχῃ δὲ ἐπ' ἀδείας ἡ βασιλεία ἡμῶν ἱκανοῦσθαι τὴν τοιαύτην ζημίαν ἀπὸ τοῦ τοιούτου μέρους τοῦ μὴ φυλάξαντος τὴν συμφωνίαν. ἵνα ἔχωσιν ἐλευθερίαν πάντες οἱ Βενέτικοι καὶ οἱ κρατουμένοι ὡς Βενέτικοι, ἀφ' οὗπερ μέρους ἔλθωσιν εἰς τὴν βασιλείαν ἡμῶν, καὶ ὦσιν ἀφρόντιστοι καὶ σεσωσμένοι εἰς πᾶσαν χώραν τῆς βασιλείας ἡμῶν, εἰς ἣν ἔχει καὶ ἕξει δύναμιν μετὰ πάντων τῶν πραγμάτων καὶ τῶν πραγματειῶν αὐτῶν ἢ καὶ χωρὶς πράγματος, ἐὰν ἔλθωσι κατά τε θάλασσαν καὶ ξηράν. καὶ ἔχωσιν ἐπ' ἀδείας ἀπέρχεσθαι, ἵστασθαι, ἐπανέρχεσθαι, ἐξωνεῖσθαι καὶ πωλεῖν ἄνευ τινὸς ἐμποδισμοῦ ἢ ζημίας, ἄνευ τινὸς δόσεως καὶ τελωνίου, διαβατικοῦ, κομμερκίου, σκαλλιατικοῦ καὶ πάσης ἄλλης δόσεως. ἵνα οἱ ἐρχόμενοι Βενέτικοι ἐν πάσαις ταῖς χώραις τῆς βασιλείας ἡμῶν, ἐξ οἱουδήτινος μέρους ἔλθωσιν, εἰς οἵαν χώραν τῆς βασιλείας ἡμῶν θελήσουσιν ἐλλιμενίσαι, ἵνα ὀμνύωσι τοῖς ἐκεῖσε κομμερκιαρίοις τῆς βασιλείας ἡμῶν καὶ λοιπὴν δημοσιακὴν δουλείαν ἀναδεδεγμένοις, ἐὰν ζητήσωσιν αὐτοὶ τοὺς τοιούτους Βενετίκους τοῦτο, ὡς τὰς πραγματείας ἁπάσας ἃς ἔχουσι καὶ τὸ χρῆμα αὐτῶν ἐστι καὶ Βενετίκων ἐστίν, ἐὰν δὲ πάλιν πραγματείας ξένας ἔχωσιν, ὑποδεικνύωσι ταύτας αὐτοῖς. ἵνα οἱ Βενέτικοι δύνωνται πωλεῖν καὶ ἀγοράζειν, ὁποιῳδήτινι ἂν ᾖ καὶ οἱστισιν ἀνθρώποις καὶ ἀπὸ οἱωνδήτινων ἀνθρώπων, τὸ μὲν Λατίνων, τὸ δὲ Γραικῶν, τὸ δὲ καὶ ἄλλων ὁποιωνδήτινων, ἐλευθέρως καὶ ἀπολελυμένως, ἀλλὰ δὴ καὶ ἐὰν συμβῇ ἢ παρὰ τῶν κομμερκιαρίων ἢ παρὰ τῶν ἐνεργητῶν τῆς βασιλείας ἡμῶν ἀφαιρεθῆναί τι ἀπό τινος Βενετίκου εἰς μέρος τι τῆς βασιλείας ἡμῶν ὑπέρ τινος τῶν προρρηθεισῶν αἰτιῶν,

ἵνα ἡ βασιλεία ἡμῶν ποιῇ ἀποδίδοσθαι ὅλον τὸ ἀφαιρεθὲν τῷ Βενετίκῳ ἀπὸ τοῦ βεστιαρίου αὐτῆς ἢ ἄλλοθεν, ὅθεν ἔσηται ἐκ θελήματος τῆς βασιλείας ἡμῶν. ἵνα τε περὶ τῶν Βενετίκων ἢ τῶν ὡς Βενετίκων κρατουμένων πιστεύηται τὸ ῥῆμα τοῦ μπαΐούλου ἢ τῶν ἄλλων κριτῶν τῶν ὑπὲρ τῶν Βενετίκων ὄντων ἐν τῇ βασιλείᾳ, ἐὰν περί τινος τῶν προρρηθέντων Βενετίκων ἢ τῶν ὡς Βενετίκων κρατουμένων γενήσεταί τις ἀμφιβολία. ὁ δοὺξ δὲ καὶ τὸ κουμούνιον τῆς Βενετίας ἐνέχωνται λαμβάνειν ὅρκον ἀπὸ τοῦ μπαΐούλου ἢ τοῦ κριτοῦ ἢ τῶν κριτῶν τοῦ ἐλευσομένου ἢ ἐλευσομένων εἰς τὰς χώρας τῆς βασιλείας ἡμῶν καὶ τιθέναι ἐν ταῖς αὐτῶν ἀναθέσεσιν, ἵνα ὀφείλωσιν λέγειν τὴν ἀλήθειαν τῇ βασιλείᾳ ἡμῶν καὶ τοῖς ὑπὲρ ἡμῶν οὖσι, καὶ ὅτι ἵνα λέγωσι τὴν ἀλήθειαν περὶ τῶν Βενετίκων καὶ τῶν ὡς Βενετίκων κρατουμένων. ἔτι διὰ τὴν αἰτίαν τῆς ἐλευθερίας τῶν Βενετίκων, ἣν ἔχουσιν ἐν τῇ χώρᾳ τῆς βασιλείας ἡμῶν, οὐ μὴ ἐπιθήσει ἢ ἐπιτεθῆναι ποιήσῃ ἢ παραχωρήσῃ ἐπιτεθῆναι τινὰ δόσιν ἢ βάρος τινὶ Γραικῷ ἢ Λατίνῳ ἢ ἄλλῳ τινὶ προσώπῳ εἴς τι μέρος ἢ χώραν τινὰ τῆς βασιλείας ἡμῶν τινὶ τρόπῳ ἢ μηχανῇ, ὅπερ ἵνα ᾖ, κατὰ τῆς ἐλευθερίας τῶν Βενετίκων. ἔτι οὐ μὴ ἐμποδίσῃ ἡ βασιλεία ἡμῶν ἢ ἐμποδισθῆναι ποιήσῃ τινὰς Βενετίκους ἐρχομένους εἰς τὴν χώραν τῆς βασιλείας ἡμῶν, ὥστε μὴ δύνασθαι αὐτούς, ὅταν χρειασθῶσιν ἢ θελήσωσιν, ἀγοράσαι ἢ ἀγορασθῆναι ποιῆσαι κερατάρια, τεμόνια, κατάρτια, ξυλὴν καὶ ἄλλα χρειώδη ὑπὲρ τῶν ξύλων αὐτῶν ἐν τῇ χώρᾳ τῆς βασιλείας ἡμῶν. ἔτι ἵνα ποιήσῃ ἡ βασιλεία ἡμῶν ἀποδοθῆναι κατὰ τὸν τύπον τῆς προτέρας τρέβας τοῖς Βενετίκοις τοῖς κουρσευθεῖσιν, οἷς οὐχ ἱκανώθη περὶ τῶν κούρσων καὶ τῶν ζημιῶν τῶν τούτοις ἐπαχθεισῶν παρὰ τῶν ἀνθρώπων τῆς βασιλείας ἡμῶν ἀπὸ τοῦ καιροῦ, οὗ ἡ τρέβα ἤρξατο, μέχρι τοῦ νῦν, καὶ τοῦτ' αὐτὸ λέγομεν περὶ τῶν ἀφαιρεθέντων κομμερκίων παρὰ τῶν ἀνθρώπων τῆς βασιλείας ἡμῶν, ὅμως δὲ κατὰ τὸν αὐτὸν τρόπον ἀποδιδόναι ὀφείλουσι καὶ οἱ Βενέτικοι κατὰ τὸν τύπον τῆς τοιαύτης προτέρας τρέβας πρὸς τοὺς ἀνθρώπους καὶ πρὸς τὸ μέρος τῆς βασιλείας ἡμῶν, εἴ τι φανῇ ὅτι ἐζημιώθησαν παρὰ τῶν Βενετίκων καὶ παρὰ τοῦ μέρους αὐτῶν ἀπὸ τοῦ καιροῦ, οὗ ἤρξατο ἡ τρέβα, μέχρι τοῦ νῦν. ἵνα ἐάν τις Βενέτικος τελευτήσῃ ἐν τῇ χώρᾳ τῆς βασιλείας ἡμῶν ἐνδιαθήκως ἢ ἀδιαθήκως, τὸ ἅπαν πρᾶγμα τούτου οἰκονομῆται καὶ διεξάγηται παρὰ τοῦ μπαΐ-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΙΔΙΚΩΝ ΣΠΟΥΔΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΣΠΕΤΣΙΕΡΗΣ
Ε.Υ. ΚΑΤΣΗΣ Κ. τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ούλου ἢ τοῦ κριτοῦ τῶν Βενετίκων ἢ διὰ τῶν Βενετίκων τῶν εὑρισκομένων ἐν τῷ τοιούτῳ τόπῳ, καὶ οὐ μὴ εὑρίσκωσιν εἰς τοῦτο ἐμποδισμόν τινα παρὰ τοῦ μέρους τῆς βασιλείας ἡμῶν· ἐὰν δὲ οὐχ εὑρεθῶσιν ἐκεῖσε Βενέτικοι, ἵνα ἐπαίρηται τὸ πρᾶγμα ἐκείνου παρὰ τῆς βασιλείας ἡμῶν ἢ τῶν ἀνθρώπων αὐτῆς τῶν εὑρεθέντων ἐκεῖσε, καὶ φυλάσσηται καὶ γένηται ἐν τούτῳ, εἴ τι ἂν δόξῃ τῷ δουκὶ Βενετίας ἢ τοῖς δικαίῳ αὐτοῦ. ἵνα ἐὰν συμβῇ, ὅπερ μὴ δώῃ θεός, ναυαγῆσαι τινὰ Βενέτικον ἢ Βενετίκους μετὰ καραβίου αὐτῶν ἢ ξύλου ἢ ξένου ξύλου, τὰ πράγματα αὐτῶν παραφύλαττωνται σεσωσμένα, καὶ ἔχωσι καὶ βοήθειαν οἱ τοιοῦτοι ἀπὸ τῶν ἀνθρώπων τῆς βασιλείας ἡμῶν εἰς τὸ ἀνακαλέσασθαι τὸ αὐτῶν πρᾶγμα. ἔτι ἵνα ἔχωσιν ἐπ' ἀδείας οἱ Βενέτικοι ἐξωνεῖσθαι σῖτον καὶ ἐκβάλλειν αὐτὸν ἔξω τῆς χώρας τῆς βασιλείας ἡμῶν μετὰ καραβίων αὐτῶν ἢ ξύλων ἢ ἄλλων ξενικῶν καί, ἔνθα ἂν θελήθωσιν, ἀποκομίζειν τὸν τοιοῦτον σῖτον, ἄνευ τῶν χωρῶν τῶν ἐχθρῶν τῆς βασιλείας ἡμῶν, ὅταν τὰ ἑκατὸν μόδια τοῦ σίτου διαπωλῶνται εἰς ὑπέρπυρα ἑκατὸν ἢ καὶ ἔλαττον· ἐὰν δὲ ἐπέκεινα τῶν ἑκατὸν ὑπερπύρων διαπωλῶνται, οὐ μὴ ἔχωσιν ἄδειαν ἐκβάλλειν σῖτον ἀπὸ τῶν χωρῶν τῆς βασιλείας ἡμῶν ἄνευ προτροπῶν τῆς βασιλείας ἡμῶν· ἐὰν δὲ ἐπαυξηθῇ ὁ μόδιος, ἵνα ᾖ κατὰ τὴν ἀναλογίαν τῆς ἐπαυξήσεως. ὁμοίως δὲ ἵνα ἐάν τις Βενέτικος ἢ Βενέτικοι ἔλθωσιν ἀπὸ τῆς μεγάλης θαλάσσης μετὰ καραβίου ἢ ξύλου, τὸ μὲν Βενετίκου ἢ ξένου, μετὰ σίτου ἢ ἄλλου γεννήματος, δύνωνται ἀπέρχεσθαι μετὰ τοῦ τοιούτου ξύλου αὐτῶν ἢ ξένου καὶ σίτου ἢ ἄλλου γεννήματος ἐλευθέρως καὶ ἄνευ ἀντιλογίας τινὸς τῆς βασιλείας ἡμῶν ἢ τινὸς προσώπου δικαίῳ τῆς βασιλείας ἡμῶν. ἵνα ἐὰν Βενέτικός τις κακοποιήσῃ εἰς Ῥωμαῖον, καὶ εὑρεθῇ ὁ τοιοῦτος Βενέτικος, ἐνέχηται ὅ τε μπαΐουλος ἢ ὁ κριτὴς ὁ δικαίῳ τῆς Βενετίας ὧν ποιεῖν τὴν ἐκδίκησιν κατὰ δίκαιον λόγον· εἰ δὲ ὁ κακοποιὸς οὐχ εὑρεθῇ, ἵνα διδῶται αὐτῷ διωρία μέχρι καὶ ἡμίσεος χρόνου ἐπὶ τῷ ἐλθεῖν αὐτὸν καὶ ἱκανοποιῆσαι τὸ σφάλμα, ὅπερ ἐποίησε, καὶ ἐὰν ἐντὸς τῆς διωρίας τοῦ τοιούτου καιροῦ ἔλθῃ ὁ τοιοῦτος, ἵνα ὁ μπαΐουλος καὶ ὁ κριτὴς ποιῇ τὴν ἐκδίκησιν, ὡς εἴρηται, εἰ δ' οὐχ εὑρεθῇ, ἵνα ὁ μπαΐουλος ἢ ὁ κριτὴς ἢ ὁ δικαίῳ τούτου ἀποστέλλῃ καὶ παραδηλοῖ εἰς τοὺς τόπους καὶ χώρας, [εἰς] οὓς ἔχουσιν οἱ Βενέτικοι δύναμιν, ὥστε εὑρεῖν αὐτοὺς ἀπὸ τῶν πραγμάτων τοῦ κακοποιοῦ, καὶ ἐκ τῶν

ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Π. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ ΠΕΡΣΙΟΣ ΕΡΕΥΝΩΝ ΠΡΟΕΛΛΗΝΙΚΗΣ
Ε. Α. τῆς Κ. τ.τ.τ. ΙΩΑΝΝΙΝΑ 2006

εὑρεθέντων πραγμάτων ἱκανοποιῆται ὁ τὴν βλάβην παθών. ἵνα ἐὰν συμβῇ, ὅπερ οὐ μὴ δώῃ θεός, τινὰ Βενέτικον φονεῦσαι τινὰ Ῥωμαῖον, ὁ τοιοῦτος Βενέτικος κρίνηται παρὰ τῆς βασιλείας ἡμῶν· ἐὰν δὲ Βενέτικος ἄλλον Βενέτικον φονεύσῃ ἐντὸς τῆς Κωνσταντινουπόλεως ἢ ἐκτὸς τῆς Κωνσταντινουπόλεως, κρίνηται οὗτος παρὰ τοῦ μπαΐούλου ἢ τοῦ κριτοῦ ἢ τοῦ δικαίῳ αὐτοῦ τοῦ ὄντος εἰς τὰ μέρη ἐκεῖνα. ἵνα τε ἀπολύσῃ ἡ βασιλεία ἡμῶν πάντας τοὺς πεφυλακισμένους καὶ κεκρατημένους Βενετίκους τοὺς ἐν πάσαις ταῖς χώραις τῆς βασιλείας ἡμῶν, ἔνθα ἂν ὦσι κεκρατημένοι, ἵνα τε ἀπολύσῃ καὶ ὁ ἐπιφανὴς δοὺξ καὶ τὸ κουμούνιον τῆς Βενετίας πάντας τοὺς Ῥωμαίους, οὓς ἔχουσιν εἰς τὰς φυλακὰς αὐτῶν τοὺς κατὰ τόπους κεκρατημένους ἔν τε τῇ Κρήτῃ νήσῳ, ἐν τῇ Κορώνῃ, τῇ Μεθώνῃ καὶ τῇ Εὐρίπῳ καὶ ἐν ἄλλῳ τόπῳ πιασθέντας, ἐλευθέρως καὶ ἀνεμποδίστως, καὶ ἐὰν οἱ ῥηθέντες Ῥωμαῖοι θελήσωσιν ἀπομεῖναι πρός τινα τῶν δηλωθεισῶν χωρῶν, ἵνα φυλάσσωνται παρὰ τῶν Βενετίκων ἀζήμιοι, ἐὰν δὲ θελήθωσιν ἐλθεῖν εἰς τὰς χώρας τῆς βασιλείας ἡμῶν μετὰ τῶν φαμιλιῶν αὐτῶν, ἵνα ἔρχωνται ἀκωλύτως. ἔτι οὐ μὴ κρατήσῃ ἡ βασιλεία ἡμῶν ἢ κρατηθῆναι ποιήσῃ ἢ ἀποστείλῃ ἢ ἀποστεῖλαι ποιήσῃ ξύλον βενετικὸν πρός τι μέρος ἐκτὸς τοῦ θελήματος αὐτῶν εἰς πᾶσαν τὴν βασιλείαν ὑμῶν. ἵνα οὐ μὴ παραχωρήσῃ ἡ βασιλεία ἡμῶν γενέσθαι ἁρμάτωσιν τινὰ κατὰ τῶν Βενετίκων εἰς τὴν χώραν τῆς βασιλείας ἡμῶν· ἐὰν δέ τις ζημία γένηται πρὸς τοὺς Βενετίκους ἢ πρός τινα τούτων, ἵνα διορθῶται τοῦτο ἡ βασιλεία ἡμῶν· ἐὰν δέ τινες βενέτικοι κουρσάριοι ποιήσωσιν ζημίαν τινὰ εἰς τὴν χώραν τῆς βασιλείας ἡμῶν, ἵνα ἐνέχηται ὁ μπαΐούλος ἢ ὁ κριτὴς ἢ ὁ δικαίῳ αὐτῶν ὁ ὑπὲρ αὐτῶν ὢν ἐκεῖσε καλῇ πίστει καὶ ὅρκῳ ἄνευ δόλου εὑρίσκειν αὐτοὺς καὶ κρατεῖν καὶ ποιεῖν ἐκδίκησιν εἰς τοὺς ποιήσαντας τὸ κοῦρσον καὶ ἐπαίρειν τὰ πράγματα αὐτῶν καὶ ἱκανοποιεῖν τοῖς ἀπολέσασι τὸ πράγμα αὐτῶν, ἄνευ τῶν Βενετίκων τῶν κρατούντων καὶ κρατῆσαι μελλόντων ἐκ τῶν νήσων τῶν μὴ ὑποτεταγμένων τῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας. ἵνα ἐὰν ἐξ ἄλλου λαοῦ ἢ ἐκ τῶν, ὡς εἴρηται, μὴ ὑποτεταγμένων αὐτοῖς νήσων καὶ τῷ κουμουνίῳ τῆς Βενετίας ἔλθωσι κουρσάριοι κατὰ τῶν χωρῶν τῆς βασιλείας ἡμῶν, οὐ μὴ παραλαμβάνωσι τούτους εἰς τὰς χώρας αὐτῶν καὶ τὰς νήσους, ἀλλ' ἵνα διώκωσι καὶ καταπολεμῶσιν αὐτούς, ὡς καὶ οἱ ἀπὸ τοῦ μέρους τῆς βα-

σιλείας ἡμῶν διώκουσι τούτους· ἐὰν δέ τινες ἔσονται ἐν αὐτοῖς δεχόμενοι τοὺς τοιούτους κουρσαρίους, καὶ εὕρωσιν ἀπὸ τῆς βασιλείας ἡμῶν κάκωσιν, ἵνα μὴ ἐνέχηται ἡ βασιλεία ἡμῶν εἰς τὸν ὅρκον αὐτῆς ἕνεκα τῆς κακώσεως τῆς γινομένης εἰς τοὺς ἀναδεχομένους τοὺς τοιούτους κουρσαρίους, ὡς εἴρηται. ἵνα ἐὰν συμβῇ γενέσθαι εἰς τὰς περιλήψεις τῶν τοιούτων συμφωνιῶν καὶ τῆς τρέβας σφάλμα τι ἀπὸ τοῦ μέρους τοῦ δουκὸς αὐτῶν καὶ τοῦ κουμουνίου τῆς Βενετίας ἢ τῶν Βενετίκων, οὐ διὰ τὸ τοιοῦτον σφάλμα ἵνα καταλύῃ ἡ βασιλεία ἡμῶν ἐκ τοῦ ἀπ' ἐντεῦθεν τὴν τρέβαν, καὶ κινῇ κατ' αὐτῶν μάχην, ἀλλ' ἵνα δώσει περὶ τοῦ τοιούτου σφάλματος εἴδησιν αὐτοῖς ἡ βασιλεία ἡμῶν, καὶ γένηται τοῦ τοιούτου σφάλματος διόρθωσις παρ' αὐτῶν· ὡσαύτως ἐὰν συμβῇ γενέσθαι σφάλμα τι ἀπὸ τοῦ μέρους τῆς βασιλείας ἡμῶν εἰς τὸ μέρος τῶν Βενετίκων καὶ τοῦ κουμουνίου τῆς Βενετίας, εἰς τὴν τοιαύτην τρέβαν καὶ τὰ κεφάλαια τῶν συμφωνιῶν, οὐ μὴν καταλύῃ αὐτός τε ὁ δοὺξ καὶ τὸ κουμούνιον τῆς Βενετίας καὶ οἱ Βενέτικοι τὴν τρέβαν, καὶ κινῶσι μάχην, ἀλλ' ἵνα διδῶται παρ' αὐτῶν περὶ τούτου εἴδησις τῇ βασιλείᾳ ἡμῶν, καὶ γένηται παρ' αὐτῆς ἡ διόρθωσις τοῦ τοιούτου σφάλματος. ἵνα ἐὰν πραγματευταὶ ἀπὸ τῶν χωρῶν τῆς βασιλείας ἡμῶν θελήσωσιν εἰς τὴν Βενετίαν εἰσελθεῖν μετὰ πραγματειῶν, πωλήσωσι ταύτας ἀκωλύτως, καταβάλλοντες τὸ κομμέρκιον τὸ παρ' αὐτῶν ταχθὲν καὶ τοῦ κουμουνίου τῆς Βενετίας ἐκ τοῦ ἄλλου δὲ μέρους ὡσαύτως ὁ προρρηθεὶς δοὺξ ὑπὲρ ἑαυτοῦ καὶ τῆς βουλῆς αὐτοῦ καὶ παντὸς τοῦ κουμουνίου Βενετίας, σχὼν ἄδειαν καὶ λόγον παρ' αὐτῆς τῆς βουλῆς καὶ τοῦ κουμουνίου τῆς Βενετίας τοῦ ὀμόσαι μετὰ τῆς θελήσεως αὐτῶν ἐπάνω τῶν ψυχῶν αὐτῶν, ὑποσχεθῇ ἡμῖν καὶ τῇ βασιλείᾳ ἡμῶν, καὶ εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια ἐπομόσεται καὶ εἰς τὸν ἀληθῆ καὶ σεβάσμιον σταυρόν, ἵνα ἀπὸ τῆς σήμερον ἡμέρας, ἥτις ἐστὶν ἐννακαιδεκάτη τοῦ παρόντος μαρτίου μηνὸς τῆς πέμπτης ἰνδικτιῶνος, ἔτει ἀπὸ τῆς καταστάσεως τοῦ κόσμου ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ πέμπτῳ, εἴτουν ἀπὸ τῆς ἐνσαρκώσεως τοῦ κυρίου χιλιοστῷ διακοσιοστῷ ὀγδοηκοστῷ πέμπτῳ κατὰ τὴν παρὰ τῶν Γραικῶν ἀπαρίθμησιν, κατὰ δὲ τὴν παρὰ τῶν Λατίνων ἀπὸ τῆς ἐνσαρκώσεως τοῦ κυρίου χιλιοστῷ διακοσιοστῷ ἑβδομηκοστῷ ἑβδόμῳ, φυλάξωσιν ὁ δοὺξ καὶ τὸ κουμούνιον τῆς Βενετίας καὶ οἱ Βενέτικοι καὶ κρατήσωσιν ἀληθῆ καὶ κα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ν.Φ. της Κ. τ. ... ΙΩΑΝΝΙΝΑ 200..

θκράν τρέβαν μεθ' ἡμῶν καὶ μετὰ τῆς βασιλείας ἡμῶν καὶ πάσης τῆς χώρας τῆς Ῥωμανίας τῆς ὑπὸ τὴν βασιλείαν ἡμῶν κατά τε θάλασσαν καὶ ξηράν, ἄνευ παντὸς δόλου, μέχρι καὶ συμπληρώσεως δύο ἐτῶν καὶ τοσούτῳ πλέον, ὅσον ἔσεῖται ἐκ συμβιβάσεως καὶ θελήσεως ἀμφοτέρων τῶν μερῶν, οὕτω δ' ὅμως, ἵνα, συμπληρουμένων τῶν δύο ἐτῶν ἢ καὶ τῆς εἰς τὸ ἑξῆς παρατάσεως τῆς ἐκ συμβιβάσεως καὶ θελήσεως ἀμφοτέρων τῶν μερῶν, οἷον τῶν μερῶν τὴν τοιαύτην τρέβαν οὐ θελήσει ἐπέκεινα τοῦ ῥηθέντος ὅρου, ἐνέχηται δι' ἓξ μηνῶν τῷ ἑτέρῳ μέρει δηλοποιεῖν, ὡς ταύτην οὐ θέλει, καὶ ἵνα ἡ τρέβα ἄνευ καταλύσεως φυλάττηται ἐντὸς τοῦ ῥηθέντος ὅρου τῶν ἓξ μηνῶν, καὶ τὸ ἓν μέρος μὴ καταβλάπτῃ τὸ ἄλλο, ἀλλὰ πάντα τὰ ὑποσχεθέντα κατὰ τὸ ὕφος τῆς τρέβας παντοιοτρόπως φυλάσσωνται, καὶ ἵνα ἡμᾶς ἢ τὴν βασιλείαν ἡμῶν ἢ τὸν λαὸν καὶ τὴν χώραν τῆς Ῥωμανίας τὴν ὑπὸ τὴν βασιλείαν ἡμῶν οὐ μὴ προσκρούσωσιν οὔτε προσκροῦσαι ποιήσωσιν ἢ βλαβῆναι δι' ἑαυτῶν ἢ δι' ἄλλων τρόπῳ τινὶ ἢ μηχανῇ, καὶ ἵνα τὰς χώρας τῆς Ῥωμανίας καὶ τὰς νήσους τὰς ὑπὸ τὴν βασιλείαν ἡμῶν ἢ τινὰ μέρη τῆς βασιλείας ἡμῶν ἢ τὸν λαὸν ἡμῶν οὐδοπωσοῦν παρενοχλήσωσιν ἢ παρενοχληθῆναι ποιήσωσιν ἢ παραχωρῆσαι δι' ἑαυτῶν ἢ δι' ἄλλων τρόπῳ τινὶ ἢ μηχανῇ, καὶ ἵνα μὴ ἑνωθῶσιν ἢ τινὰ Βενέτικον ἑνωθῆναι παραχωρήσωσι μετά τινος χριστιανικοῦ λαοῦ ἢ ἀσεβοῦς ἢ μετά τινος σώματος κατὰ τῆς βασιλείας ἡμῶν καὶ τῶν χωρῶν καὶ τοῦ λαοῦ τῆς βασιλείας ἡμῶν, ἵνα μὴ ἐάσωσι τινὰ φέρειν τινὸς σῶμα κατὰ τῆς βασιλείας ἡμῶν καὶ τοῦ λαοῦ ἡμῶν, ἵνα μὴ συμφωνήσωσιν ἢ παραχωρήσωσι τινὶ τῶν καραβοκυρίων ἢ τῶν εὐγενῶν τῆς Βενετίας συμφωνῆσαι μετά τινων ῥηγάδων, πριγκίπων ἢ βαρουνίων ἢ κόντων ἢ κουμουνίων κατὰ τῆς βασιλείας ἡμῶν ἢ κατὰ τῆς χώρας ἡμῶν ἢ κατὰ φοσσάτου ἢ κατὰ λαοῦ ἡμῶν τοῦ ὑπὸ τὴν βασιλείαν ἡμῶν ἔν τισι πρὸς τὸ δυνηθῆναι προσκροῦσαι τῇ βασιλείᾳ ἡμῶν, καὶ ἵνα μὴ ναυλώσωσιν ἢ ναυλῶσαι ποιήσωσιν ἢ παραχωρήσωσι δι' ἑαυτῶν ἢ διά τινων ἄλλων σωμάτων καράβια ἢ ἄλλα ξύλα ἢ σκεύη ἐκ τοῦ κουμουνίου αὐτῶν ἢ ἔκ τινων ἰδικῶν προσώπων βενετίκων εἰς τὸ φέρειν ἐχθροὺς τῆς βασιλείας ἡμῶν εἰς τὴν χώραν καὶ εἰς τὴν βασιλείαν ἡμῶν. τὰ προρρηθέντα δὲ πάντα ὀμνύομεν ὑπὲρ ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν ἔχειν πάγια καὶ βέβαια καὶ κρατεῖν καὶ προσέχειν καὶ φυλάσσειν ἀπαράθραυστα, καθὼς καὶ

Ε.Υ.Α. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὁ προρρηθεὶς πρέσβυς, κῦρ Μάρκος Μπέμπος ὁ φέρων τὸ δίκαιον τοῦ ῥηθέντος ἐπιφανοῦς δουκὸς καὶ τῶν Βενετίκων διὰ τῆς ἐξουσίας τῆς προρρηθείσης ἀναθέσεως, ἐπωμόσατο εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια ἐντίμως καὶ εἰς τὸν σεβάσμιον σταυρὸν καὶ εἰς τὴν ψυχὴν τοῦ ῥηθέντος δουκὸς καὶ τῶν Βενετίκων καὶ ἑαυτοῦ, ἵνα παρὰ τοῦ τοιούτου ἐπιφανοῦς δουκὸς καὶ τοῦ κουμουνίου καὶ τῆς ὁλότητος καὶ διακρατήσεως Βενετίας φυλαχθῶσι καὶ κρατηθῶσι καὶ ἀποδεχθῶσι παντοιοτρόπως ἀπαράθραυστα πάντα τὰ προρρηθέντα κεφάλαια, ὑπισχνούμενος ὡσαύτως ποιῆσαι, ἵνα ὁ τοιοῦτος ἐπιφανὴς δοὺξ ἀποδέξηται καὶ ἐπικυρώσῃ πάντα τὰ προρρηθέντα κεφάλαια, ἐπομοσάμενος δηλονότι ὑπὲρ ἑαυτοῦ καὶ τῆς βουλῆς αὐτοῦ τῆς μικρᾶς καὶ μείζονος πάσης καὶ τοῦ κουμουνίου Βενετίας, σχὼν ἄδειαν καὶ λόγον παρ' αὐτῶν κατὰ τὴν συνήθειαν τούτου εἰς τὸν ἀληθῆ καὶ σεβάσμιον σταυρὸν καὶ εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια, ταῦτα πάντα ἔχειν πάγια καὶ βέβαια καὶ κρατεῖν καὶ ποιεῖν κρατεῖσθαι καὶ ἀπαράθραυστα φυλάττεσθαι. εἰς τούτων γοῦν πάντων παγιότητα καὶ βεβαίωσιν τὸ παρὸν χρυσόβουλλον γενέσθαι ἡ ἡμετέρα βασιλεία προσέταξε καὶ τῇ χρυσῇ βούλλῃ ταύτῃ ἀσφαλισθῆναι. ἐγεγόνει ἐν τῇ εὐδαίμονι πόλει ἡμῶν τῇ Κωνσταντινουπόλει ἐν τῷ ἡμετέρῳ ἱερῷ παλατίῳ τῶν Βλαχερνῶν, ἔτει, ἡμέρᾳ, [μηνὶ] καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις, παρόντων ἐν τῇ παρουσίᾳ τῆς ἡμετέρας μεγαλειότητος τῶν μεγαλοπρεπῶν ἀνδρῶν καὶ ἀρχόντων τῆς βασιλείας ἡμῶν, τοῦ τε γαμβροῦ τῆς βασιλείας ὑμῶν τοῦ μεγάλου λογοθέτου κῦρ Γεωργίου τοῦ Ἀκροπολίτου, τοῦ σεβαστοπανυπερτάτου κῦρ Ἰωάννου τοῦ Ἀποκαύκου, τοῦ πανσεβάστου λογοθέτου τοῦ γενικοῦ κῦρ Θεοδώρου τοῦ Μουζάλωνος καὶ τοῦ πανσεβάστου μεγάλου τζακίου Νικηφόρου τοῦ Ἀρριανίτου καὶ ἑτέρων πολλῶν εὐγενῶν τῆς βασιλείας ἡμῶν.

† Μιχαήλ, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

A tergo: Τὰ τοῦ σεβαστοῦ καὶ λογοθέτου γενικοῦ, Θεοδώρου τοῦ Μουζάλωνος.

*Orig. charta bomb. tabull. Veneti. Bulla aurea, olim suspensa serico violaceo, avulsa. Latine extat apud G .L. F. Tafel et G. M. Thomas, Urkunden zur älteren Handels- und Staatsgeschichte von Venedig. 3. 133.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργ. Δ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## XXII. (6798—1290).

***Imperator Andronicus Palaeologus senior mercatoribus Hispanis privilegia concedit.***

† Ἐπεὶ οἱ ἔποικοι τῆς χώρας Παρτζαλόνας, τῆς Ῥαγούνας, τῆς Κατελονίας, τῆς Μαγιόρκας, τῆς Βαλεντζίας, τῆς Τουρτούσας καὶ τῶν ἑτέρων χωρῶν τοῦ ὑψηλοτάτου ῥηγὸς Ῥαγούνας καὶ Σικελίας ἐποιήσαντο ἀναφορὰν πρὸς τὴν βασιλείαν μου διὰ τοῦ ἐλθόντος ἐνταῦθα εἰς τὴν Κωνσταντινούπολιν κουνσούλου τῶν Κατελάνων, τοῦ συνετοῦ ἀνδρὸς τοῦ σὺρ Δαλμάην Σουνὴρ, ὡς θέλουσίν τινες ἐξ αὐτῶν καταλαμβάνειν εἴς τε τὴν Κωνσταντινούπολιν καὶ τὰς ἑτέρας χώρας αὐτῆς καὶ ποιεῖσθαι πραγματείας ἐν αὐταῖς, ἐξῃτήσαντο δὲ καὶ παρεκλήτευσαν, χορηγηθῆναι αὐτοῖς ὑπὲρ τούτου χρυσόβουλλον τῆς βασιλείας μου, ὥστε ἔχειν τὴν ἐπὶ τοῦτο ἄδειαν καὶ ἔρχεσθαι ἀκωλύτως, γενέσθαι δὲ εἰς αὐτοὺς καὶ κυβέρνησίν τινα εἰς τὴν ἀπόδοσιν τοῦ κομμερκίου, τὴν αἴτησιν καὶ παράκλησιν αὐτῶν προσηκαμένη ἡ βασιλεία μου τὸ παρὸν χρυσόβουλλον αὐτῆς ἀπολύει πρὸς αὐτούς, δι' οὗ καὶ διορίζεται ἔχειν ἐπ' ἀδείας τοὺς διαληφθέντας ἐποίκους τῆς εἰρημένης χώρας Παρτζαλόνας, τῆς Ῥαγούνας, τῆς Κατελονίας, τῆς Μαγιόρκας, τῆς Βαλεντζίας, τῆς Τουρτούσας, καὶ τῶν περὶ ταύτας ἑτέρων χωρῶν τοῦ ὑψηλοτάτου ῥηγὸς Ῥαγούνας καὶ Σικελίας ἐπιδημεῖν ἐν τῇ Κωνσταντινουπόλει καὶ ἐν ταῖς ἄλλαις χώραις τῆς βασιλείας μου, ὁσάκις βούλονται καὶ ὅσοι ἐξ αὐτῶν προαιροῦνται τοῦτο, καὶ ποιεῖν ἐν αὐταῖς τὰς δοκούσας αὐτοῖς πραγματείας ἀνενοχλήτως καὶ ἀκαταδυναστεύτως, ἀποδιδόναι ὀφείλοντας χάριν κομμερκίου ὑπὲρ ἐμβολῆς εἰς τὰ ἑκατὸν ὑπέρπορα ὑπέρπυρα τρία, καὶ ὑπὲρ ἐκβολῆς ὁμοίως ἕτερα ὑπέρπυρα τρία, εἰς πλέον δὲ μὴ καθέλκεσθαι, συντηρεῖσθαι δὲ μᾶλλον ἀβλαβεῖς ἔν τε τοῖς σώμασι καὶ τοῖς πράγμασιν αὐτῶν, καὶ μηδεμίαν ἄλλην ζημίαν ἢ καταδυναστείαν καὶ ἁρπαγὴν ὑφίστασθαι παρά τινος τῶν ἁπάντων τῶν ἀπὸ τοῦ μέρους τῆς βασιλείας μου. ἔτι γε μὴν καθὼς καὶ τὸ περὶ τοῦτο ᾐτήσαντο, ἐὰν συμβῇ κινδυνεῦσαι κατὰ θάλατταν καράβιον αὐτῶν ἀπὸ κλύδωνος καὶ πεσεῖν εἰς ξηρὰν ἐν τῇ χώρᾳ τῆς βασιλείας μου, οὐχ ἕξουσιν ἐπ' ἀδείας οἱ ἔποικοι τῆς τοιαύτης χώρας ἢ ἕτεροί τινες διαρπάζειν καὶ ἀποκερδαίνειν τι ἀπὸ τοῦ περισωθέντος αὐτῶν πράγματος, ἀλλὰ διαφυλά-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΑΧΕΙΡΙΣΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εκ. Δ τος Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χθήσεται τὸ τοιοῦτον πρᾶγμα αὐτῶν ἀκαινοτόμητον, τῇ δυνάμει καὶ ἰσχύι τοῦ παρόντος χρυσοβούλλου τῆς βασιλείας μου. τούτου γὰρ τῇ ἐμφανείᾳ διατηρηθήσονται μετὰ τὸ διδόναι τὸ ἀναγεγραμμένον κομμέρκιον ἀνενόχλητοι καὶ ἀζήμιοι, καὶ οὐχ ὑποστήσονται παρά τινος ἀδικίαν ἢ ζημίαν τινὰ ἢ ἐπήρειαν καὶ ἐπίθεσιν οἱανδήτινα. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν χρυσόβουλλον τῆς βασιλείας μου, καὶ ἐπεβραβεύθη καὶ ἐπεχορηγήθη τοῖς διαληφθεῖσιν ἐποίκοις τῆς Παρτζαλόνας, τῆς Ῥαγούνας, τῆς Κατελονίας, τῆς Μαγιόρκας, τῆς Βαλεντζίας, τῆς Τουρτούζας καὶ τῶν περὶ ταύτας ἑτέρων χωρῶν τοῦ ὑψηλοτάτου ῥηγὸς Ῥαγούνας καὶ Σικελίας εἰς βεβαίωσιν καὶ δεφένδευσιν καὶ ἀσφάλειαν. †.

*Orig. tabull. Barchinonensis. Edidit A. de Capmany, Memorias historicas sobre la marina, comercio y artes de Barcelona. Madrid. 1779. 2. 467. C. E. Zachariae, Ius graeco-rom. 3. 606.*

## XXIII. (6828—1320).

***Imperator Andronicus Palaeologus senior mercatoribus Hispanis privilegia impertit.***

† Ἐπεὶ ὁ ὑψηλότατος ῥὴξ Ῥαγούνας, Βαλεντζίας, Σαρδενίας, Κόρσικας, κόντος Μπαρτζελόνας καὶ περιπόθητος θεῖος τῆς βασιλείας μου, κυρὸς Ἰάκωβος, ἀπέστειλεν εἰς τὴν βασιλείαν μου γραφὴν αὐτοῦ μετὰ τῶν Κατελάνων πραγματευτῶν, τοῦ τε Μπερεγκαρίου, τοῦ Μπονάτου Ῥεντζῆ, τοῦ Γουλλέλμου Μπερτουλίνη καὶ τοῦ Τομαζίου ντὲ Ποδίο, δηλοποιοῦσαν πρὸς τὴν βασιλείαν μου, ἵνα διὰ τὴν πρὸς αὐτὸν ἀγάπην καὶ γνησίαν στοργὴν τῆς βασιλείας μου τύχωσι μὲν οἱ τοιοῦτοι πραγματευταὶ ὁρισμῷ τῆς βασιλείας μου εἰς τὴν χώραν αὐτῆς ἀνενοχλησίας εἰς τὸ ἐνεργῆσαι τὰς δοκούσας αὐτοῖς πραγματείας, σὺν τούτοις δὲ τάξῃ ἡ βασιλεία μου, ἵνα καὶ αὐτοὶ καὶ οἱ ἄλλοι οἱ ἀπὸ τοῦ τόπου αὐτῶν μέλλοντες ἔρχεσθαι καὶ εἰς τὸ ἔμπροσθεν εἰς τὰς χώρας τῆς βασιλείας μου διὰ πραγματείας τυγχάνωσι τῆς αὐτῆς ἀνενοχλησίας, ἡ βασιλεία μου μὴ μόνον τοῦτο προσεδέξατο ἡδέως τε καὶ ἑτοίμως, ἀλλὰ σὺν τούτῳ διὰ τὴν ἀγάπην καὶ γνησίαν στοργήν, ἣν εἰς τὸν αὐτὸν ὑψηλότατον ῥῆγα καὶ περιπόθητον θεῖον τῆς βασιλείας μου κέκτηται, διέκρινε καὶ ἔταξε, καὶ πλείονα κυβέρνησιν ἔχειν

αὐτοὺς εἰς τὴν ἀπόδοσιν τοῦ ὀφειλομένου δίδοσθαι παρ' αὐτῶν κομμερκίου ἐπὶ ταῖς πραγματείαις αὐτῶν, παρ' ὃ εἶχον πρότερον, καὶ ἐκκοπὴν ἤδη ποιοῦνται καὶ ἀπ' αὐτοῦ τοῦ κομμερκίου οὗπερ εἶχον συνήθειαν καὶ ἐδίδουν, ὡς εἴρηται, πρότερον· ἀπολύει γὰρ τὸ παρὸν χρυσόβουλλον αὐτῆς, δι' οὗ διορίζεται ἐπιδημεῖν ἀκωλύτως τοὺς ἀνωτέρω εἰρημένους πραγματευτὰς καὶ τοὺς ἑτέρους, ὅσοι ἀπὸ τῆς εἰρημένης χώρας τοῦ αὐτοῦ ὑψηλοτάτου ῥηγὸς καὶ περιποθήτου θείου τῆς βασιλείας [μου] θέλουσιν ἔρχεσθαι ἐνταῦθα, εἴς τε τὴν θεοδόξαστον, θεομεγάλυντον καὶ θεοφύλακτον Κωνσταντινούπολιν καὶ εἰς τὰς ἄλλας χώρας τῆς βασιλείας μου, ὁσάκις βούλονται, καὶ ποιεῖν ἐν αὐταῖς τὰς πραγματείας αὐτῶν ἀνενοχλήτως καὶ ἀκαταδυναστεύτως, ἀποδιδόναι ὀφείλοντας χάριν κομμερκίου ὑπὲρ ἐμβολῆς εἰς τὰ ἑκατὸν ὑπέρπυρα ὑπέρπυρα δύο, καὶ ὑπὲρ ἐκβολῆς ὁμοίως ἕτερα ὑπέρπυρα δύο, εἰς πλείονα δὲ δόσιν μὴ καθέλκεσθαι, συντηρεῖσθαι δὲ μᾶλλον ἀβλαβεῖς ἔν τε τοῖς σώμασι καὶ τοῖς πράγμασιν αὐτῶν καὶ μηδεμίαν ἄλλην ζημίαν καὶ καταδυναστείαν καὶ ἁρπαγὴν ὑφίστασθαι παρά τινος τῶν ἁπάντων τῶν ἀπὸ τοῦ μέρους τῆς βασιλείας μου. ἔτι γε μὴν καθὼς καὶ τὰ περὶ τοῦτο ᾐτήσαντο οἱ τοιοῦτοι πραγματευταί, ἐὰν συμβῇ κινδυνεῦσαι κατὰ θάλατταν καράβιον αὐτῶν ἀπὸ κλύδωνος καὶ πεσεῖν εἰς ξηρὰν ἐν τῇ χώρᾳ τῆς βασιλείας μου, οὐχ ἕξουσιν ἐπ' ἀδείας οἱ ἔποικοι τῆς τοιαύτης χώρας ἢ ἕτεροί τινες διαρπάζειν καὶ ἀποκερδαίνειν τι ἀπὸ τοῦ περισωθέντος αὐτῶν πράγματος, ἀλλὰ διαφυλαχθήσεται τὸ τοιοῦτον πρᾶγμα ἀκαινοτόμητον, ἐπειδὴ οἵτινες ἂν τολμήσωσι προξενῆσαι ζημίαν εἰς αὐτοὺς ναυαγήσαντας πραγματευτὰς καὶ ἀφελέσθαι τινὰ ἀπὸ τῶν πραγμάτων αὐτῶν, ἀποδιδόναι μέλλουσι καὶ ἱκανοποιεῖν καὶ ἀντιστρέφειν κατὰ τὸ ἀκέραιον, εἴ τι ἂν ἀφέλωνται, παιδεύεσθαι δὲ καὶ ὡς ἀθετηταὶ τοῦ παρόντος χρυσοβούλλου τῆς βασιλείας μου· τούτου γὰρ τῇ ἐμφανείᾳ διατηρηθήσονται μετὰ τὸ διδόναι τὸ ἀναγεγραμμένον κομμέρκιον ἅπαντες οἱ ἀπὸ τῆς εἰρημένης χώρας Κατελονίας πραγματευταὶ ἀνενόχλητοι καὶ οὐχ ὑποστήσονται παρά τινος ἀδικίαν ἢ ζημίαν τινὰ ἢ ἐπήρειαν καὶ ἐπίθεσιν οἱανδήτινα. διὰ γὰρ τοῦτο αὐτοῖς καὶ τὸ παρὸν χρυσόβουλλον τῆς βασιλείας μου καὶ ἐπεβραβεύθη καὶ ἐπεχορηγήθη τοῖς διαληφθεῖσι πραγματευταῖς καὶ τοῖς ἑτέροις, ὅσοι ἀπὸ τῆς εἰρημένης χώρας τοῦ δηλωθέντος περιποθήτου θείου τῆς βασιλείας μου, τοῦ ὑψηλοτάτου



ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
ΙΩΑΝΝΙΝΑ 2006

ῥηγός, θελήσουσιν ἔρχεσθαι ἐνταῦθα καὶ εἰς τὰς ἑτέρας χώρας τῆς βασιλείας μου, εἰς βεβαίωσιν καὶ δεφένδευσιν καὶ ἀσφάλειαν †.

*Orig. tabull. Barchinonensis. Edidit A. Capmany 2. 468.*

## XXIV. 6833—1324. mense octobri ind. VIII.

*Imperator Andronicus senior prorogat pactiones anteriores cum Venetis factas in annos quinque, promittens compensationem damnorum ipsis illatorum a Graecis.*

† [Εἰς τὸ ὄνομα τοῦ κυρίου, ἀμήν. ἐπεὶ] ἀπέστειλεν ἡ βασιλεία μου τὸν πανσέβαστον σεβαστὸν οἰκεῖον αὐτῇ, κῦρ [Στέφανον τὸν Συρόπουλον εἰς τὸν ἐ]πιφανῆ δοῦκα καὶ τὸ κουμούνιον Βενετίας πρέσβυν ἐντελῆ [καὶ ἀποκρισιάριον, ἔχοντα δύναμιν διὰ προκουρατορι]κοῦ ἡμετέρου χρυσοβούλλου τρακτάῖσαι, συμφωνῆσαι, ἀπο[καταστῆσαι καὶ πληρῶσαι νέας τρέβας ἀναμέσον τῆ]ς βασιλείας ἡμῶν καὶ τοῦ αὐτοῦ ἐπιφανοῦς δουκὸς καὶ τοῦ [κουμουνίου Βενετίας, κἀντεῦ]θεν κατήντησε καὶ συνεφώνησε μετ᾽ αὐτῶν καὶ ἀποκατέστησε [καὶ ἐπλήρωσε τρέβας ἐτῶν πέντ]ε, ἀρχομένων ἀπὸ τῆς ἑνδεκάτης τοῦ παρελθόντος ἰουνίου τῆς [ἑβδόμης ἰνδικτιῶνος, ὥστε στέ[ργειν μὲν πάσας τὰς διαστίξεις καὶ τὰ κεφάλαια, ἅτινα εἰσὶ δι[ειλημμέναι ἐν ταῖς προηγησα]μέναις τρέβαις ἀναμέσον τῆς βασιλείας μου καὶ τοῦ ἐπι[φανοῦς δουκὸς καὶ τοῦ κουμου]νίου Βενετίας, ἐπιδιορθωθῆναι δὲ καί τινα ἀπ᾽ αὐτῶν, [περὶ ὧν σαφέστερον εἰρήσεται], ἅτινα καὶ κατωτέρω δηλωθήσεται, ὑπεσχέθη δὲ καὶ [ἐπωμόσατο ὁ προειρ]ημένος ἡμέτερος πρέσβυς, ἵνα στέρξῃ καὶ κυρώσῃ ἡ βασιλεία μου [δι᾽ ἐγγράφου ὁρκωμοτικοῦ αὐτῆ]ς, ἅπερ συνεφώνησε καὶ ἔταξε καὶ ἀποκατέστησεν, ἡ βασιλεία μου, [στέργουσα, ὅσον ὁ εἰρημένος πρέσβυς συνεφών]ησε καὶ ἐπωμόσατο, ὡς ἔχων ἄδειαν καὶ δύναμιν εἰς τοῦτο διὰ [τοῦ εἰρημένου προκουρατορικο]ῦ χρυσοβούλλου, ἤδη ἐκτίθεται τὸ παρὸν ὁρκωμοτικὸν αὐτῆς, [δι᾽ οὗ ὀμνύει εἰς τὰ ἅγια τοῦ θεοῦ] εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν, καὶ στηρίζει, [ὡς ἂν στέρξῃ ἀμετα]θέτως καὶ ἀπαρασαλεύτως, ὅσα ἔταξε καὶ συνεφώνησε καὶ ἀποκατέστησεν ὁ εἰρημένος ἡμέ[τερος πρέσβυς μετὰ τοῦ δηλωθέντος ἐπιφανοῦς δουκὸς καὶ τοῦ [κουμουνίου Βενετίας ἐπὶ] τῇ ῥηθείσῃ διωρίᾳ τῶν πέντε ἐτῶν, ἤγουν ἵνα τρέβαν καθαρὰν [καὶ ἀδόλευτον φυλάσσω]μεν δι᾽ ἡμῶν καὶ τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ... ΙΩΑΝΝΙΝΑ 2006

βασιλείας ἡμῶν πρὸς τὸν ἐπιφανῆ δοῦκα καὶ [τὸ κουμούνιον Βενετίας καὶ πρ]ὸς ἅπαν τὸ μέρος αὐτῶν, καὶ φυλάξωμεν πάντα μὲν τὰ προ-[ειρημένα κεφάλαι]α, ἅτινα διαλαμβάνονται ἐν ταῖς προηγησαμέναις πρότερον τρέβαις. [ὁμοίως δὲ καὶ τὰ νῦν] διορθωθέντα ἀπὸ τῶν τοιούτων κεφαλαίων, ἤγουν ἵνα πάντες οἱ Βενέ[τικοι καὶ οἱ ὡς Βενέτικοι κ]ρατούμενοι καὶ οἱ τούτοις προσκείμενοι ἔχωσιν ἐλευθερίαν ἐν [πάσῃ τῇ χώρᾳ τῆς ἡμετέρ]ας βασιλείας ἀγοράζειν καὶ πραγματεύεσθαι τὸν ἀπὸ τῆς μείζονος [θαλάσσης καὶ πάντα ἄλλον σῖ]τον, τὸν μὴ γεωργούμενον δηλονότι ἐν ταῖς χώραις τῆς βασιλείας [ἡμῶν καὶ πωλεῖν τὸν] τοιοῦτον σῖτον, ἔνθα ἂν ἐθελήσωσι καὶ αὐτοῖς δόξῃ ἐν [ταῖς χώραις τῆς βασιλείας μου], ἄνευ μόνου τοῦ τόπου τοῦ προσφορίου τῆς θεο[δοξάστου, θεομεγαλύντου, θεοφρουρ]ήτου Κωνσταντινουπόλεως ἐλευθέρως καὶ ἄνευ τινὸς βάρους [ἢ ἐμποδισμοῦ. ὁ δὲ σῖτος ὁ γεω]ργούμενος ἐν τῇ χώρᾳ τῆς βασιλείας μου εὑρίσκηται ἐν τῇ [χώρᾳ, ὡς διαλαμβάνεται ἐν ταῖ]ς προτέραις τρέβαις. ἔτι ἵνα πάντες οἱ Βενέτικοι καὶ οἱ ὡς [Βενέτικοι κρατούμενοι καὶ κατα]λογιζόμενοι ὡς Βενέτικοι ἔχωσιν ἄδειαν καὶ ἐλευθερίαν ἐκβάλλειν, [διακομίζειν, ἀγοράζειν καὶ πωλεῖν] ἐν πᾶσι τοῖς μέρεσι τῆς χώρας τῆς ἡμετέρας βασιλείας κέγχρον, φάβα, [κριθὴν καὶ πᾶν ἄλλο] γέννημα καὶ ὄσπριον, ἄνευ τοῦ σίτου τοῦ γεωργουμένου ἐν τῇ [χώρᾳ τῆς βασιλείας μου, καθ]ὼς διαλαμβάνεται ἐν ταῖς πρώην γεγονυίαις τρέβαις, καὶ ἵνα ἐ[λευθέρως καὶ ἀκωλύτως ἐκ]βάλλωνται πάντα τὰ προειρημένα εἴδη παρά τε τῶν Βενετίκων [καὶ τῶν ὡς Βενετίκων κρατου]μένων καὶ τῶν καταλογιζομένων ὡς Βενετίκων, ἄνευ τῆς τυχούσης [δόσεως κομμερκίου, σκαλι]ατικοῦ, ἀγγαρείας ἢ τινος ἑτέρου βάρους ἢ ἐμποδισμοῦ δυνατοῦ [γενέσθαι ἢ νοεῖσθαι γενέ]σθαι τούτοις. ἔτι ἵνα ἡ βασιλεία μου ἐνέχηται ἱκανοποιεῖν ἀπὸ τοῦ [βεστιαρίου αὐτῆς κατὰ τοὺς τύ]πους τῶν τρεβῶν πᾶσαν ζημίαν συμβησομένην γενέσθαι τοῖς Βενετίκοις [καὶ τοῖς τούτοις προσκει]μένοις καὶ τοῖς καταλογιζομένοις ὡς Βενετίκοις παρὰ ἁρματώματος [ἢ ἁρματωμάτων γεγονότων ἢ γε]νησομένων ἐν τοῖς μέρεσι τῆς βασιλείας μου, παρ' ὧν ἂν καὶ γένωνται Ῥωμαίων [ἢ Λατίνων ἢ οἱασδήτινος] καὶ γενεᾶς ὦσιν. ἔτι ὑπὲρ τῶν ζημιῶν τῶν γεγονυιῶν τοῖς Βενε[τίκοις καὶ ὑποτεταγμένοις] τῷ ἐπιφανεῖ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας παρὰ τοῦ λαοῦ [καὶ τῶν ὑποτεταγμένων τῇ βα]σιλείᾳ μου, ἵνα δώσει ἡ βασιλεία μου ὑπερπύρων χρυσῶν χιλιάδας δώ[δεκα ἐντὸς διωρίας τριῶν ἐτῶν, ἀ]ρ-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΑΘΟΡΗΤΙΚΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

χομένων ἀπὸ τῆς ἐνδεκάτης τοῦ προειρημένου μηνὸς Ἰουνίου, [ἀφ' ἧς ἡ προγεγονυῖα τρέβα] ἤρξατο, ἤγουν καθ' ἕκαστον ἔτος ὑπερπύρων χιλιάδας τέσσαρας, [ἕως ἂν αἱ δώδεκα χιλιάδες ὑπερπύρων καθ' ὁλόκληρον] ἀποφληθῶσιν, ὧν χάριν ὅ τε ἐπιφανὴς δοὺξ καὶ τὸ κουμούνιον Βενετίας ἐπαφίησι καὶ ἀθε]τεῖ πᾶσαν ζημίαν καὶ βλάβην γενομένην πᾶσι τοῖς τοῦ μέρους [αὐτοῦ παρὰ τοῦ λαοῦ καὶ τοῦ μέρους] τῆς βασιλείας μου ἕως τῆς ἐνδεκάτης τοῦ ῥηθέντος Ἰουνίου μηνός, [καὶ ἐλεύθεροι εἰς τὸ διηνεκὲς τῶν] προειρημένων ζημιῶν τὴν βασιλείαν μου καὶ τὸν λαὸν αὐτῆς, ὡσαύτως [ἐπαφίησι καὶ ἀθετεῖ] ἡ βασιλεία μου πᾶσαν βλάβην καὶ ζημίαν γεγονυῖαν παρὰ τοῦ εἰρημένου [ἐπιφανοῦς δουκὸς καὶ τοῦ κουμου]νίου Βενετίας ἢ τῶν καπετάνων τούτων ἤ τινων ἑτέρων [ὀφφικιαλίων καὶ ἄλλων ὑποτεταγμένων αὐτ]οῖς κατὰ τῶν Ῥωμαίων καὶ ὑποτεταγμένων τῇ βασιλείᾳ μου, καὶ εἰς [τὸ διηνεκὲς ἐλεύθεροι τὸν ἐπι]φανῆ δοῦκα καὶ τοὺς ὑποτεταγμένους αὐτῷ πάντας, [φυλαττομένων καὶ σωζομένων τῶν δι]καίων καὶ ζητημάτων καὶ ὀφλημάτων τῶν δηλωθησομένων [Βενετίκων, ἤγουν τῆς ὀφειλῆς] τοῦ εὐγενοῦς ἀνδρὸς Πέτρου Μαύρου τοῦ ἀπὸ τοῦ Ἁγίου Αὐγουστίνου ἀπαιτοῦντος ὑπερπύρων] χιλιάδας τρεῖς, δοθείσας δι' αὐτοῦ δανειακῶς τῷ γαμβρῷ [τῆς βασιλείας ἡμῶν, τῷ ἐπὶ τραπέζ]ης ἐκείνῳ τῷ Παλαιολόγῳ, ὅτε ηὑρίσκετο εἰς τὰ Ἰωάννινα. ἔτι [τῆς ἀπαιτήσεως καὶ ὀφει]λῆς τοῦ Παύλου Κονταρίνου, ἐνεργοῦντος λόγῳ τῶν εὐγενῶν ἀνδρῶν Μπαλιάνου [καὶ Μαρίνου Κ]ονταρίνου. ἔτι δὲ καὶ τοῦ Στεφάνου Μπαδουάρου, ἐνεργητοῦ ὄντος τοῦ εὐγενοῦς ἀνδρὸς [Ἰακώ]βου τοῦ Βαντελίνου χάριν ὑπερπύρων χιλιάδων δύο καὶ τετρακοσίων δέκα ἀνὰ δώδεκα δούκατα εἰς τὸ ὑπέρπυρον, δοθέντων καὶ αὐτῶν δανειακῶς τῷ εἰρημένῳ ἐπὶ τῆς τραπέζης, [τῷ Παλαιολόγῳ, ἀφ'] ἧς ποσότητος ὀφείλει κρατηθῆναι, ὅσον ἔλαβον ἀπὸ πράσεως τῶν ὧν ἐκράτουν ἐνεχύρων, περὶ ἧς ἐξετάσεως ὀφείλουσι πιστευθῆναι τὰ γράμματα τοῦ μπαΐούλου καὶ τῶν συμβούλων αὐτοῦ, οἵτινες τὰ τοιαῦτα ἐνέχυρα πραθῆναι ἐποίησαν ἐξ ἐντολῆς τοῦ ἐπιφανοῦς δουκὸς Βενετίας. ἔτι τῆς ἀπαιτήσεως τοῦ εὐγενοῦς ἀνδρὸς Θωμᾶ ντὲ Μέντζο, ἀπαιτοῦντος ἄνευ προστίμων καὶ ἐξόδων χιλιάδας ὑπερπύρων τέσσαρας καὶ ὑπέρπυρα διακόσια ἑπτὰ πρὸς εἴκοσι χέρια τουρνεσίων ἀνὰ ἕκαστον ὑπέρπυρον διά τινας συμβιβάσεις καὶ συμφωνία, ἃς εἶχεν οὗτος μετὰ τοῦ πανσεβάστου σεβαστοῦ οἰκείου τῇ βασιλείᾳ μου, κριτοῦ τοῦ κατὰ τὴν

Πελοπόννησον θεοφρουρήτου φοσσάτου, κυροῦ Μιχαὴλ καβαλλαρίου τοῦ Σοφιανοῦ. ἔτι τῆς ἀπαιτήσεως καὶ ὀφειλῆς τοῦ Νικολάου Φουσκούλου καὶ Συμεὼν τοῦ Κουρμουλίση, ἀπαιτούντων ὑπερπύρων χιλιάδας τρεῖς καὶ ὑπέρπυρα ἐννεακόσια δεκαεννέα καὶ στριλίγγια τέσσαρα πρὸς εἴκοσι χέρια τουρνεσίων ἀνὰ ἕκαστον ὑπέρπυρον διὰ συμφωνίας, ἃς εἶχε μετὰ τοῦ περιποθήτου ἀνεψιοῦ τῆς βασιλείας μου, κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου. ἔτι τῆς ἀπαιτήσεως καὶ ὀφειλῆς τοῦ εἰρημένου Συμεὼν Κουρμουλίση, ἀπαιτοῦντος λίτρας εἰκοσιοκτὼ δουκάτων καὶ σόλδια δεκατέσσαρα, ἔτι τε ὑπέρπυρα ἑκατὸν πρὸς εἴκοσι χέρια ἀνὰ ἕκαστον ὑπέρπυρον τουρνεσίων διὰ συμφωνίας, ἃς εἶχε μετὰ τοῦ εἰρημένου περιποθήτου ἀνεψιοῦ τῆς βασιλείας μου, ἐφ' αἷς πέντε ἀπαιτήσεσι καὶ ὀφειλαῖς ὀφείλει ἡ βασιλεία μου κατὰ τὴν γεγονυῖαν ὑπόσχεσιν τοῦ εἰρημένου πρέσβεως τῆς βασιλείας μου, τοῦ πανσεβάστου σεβαστοῦ οἰκείου αὐτῇ, κυροῦ Στεφάνου τοῦ Συροπούλου, τάξαι γενέσθαι πλῆρες καὶ ἀκριβὲς δίκαιον ἐντὸς παρελεύσεως ἔτους ἑνός, ἀρχομένου ἀπ' ἀρχῆς τοῦ παρελθόντος σεπτεβρίου τῆς ὀγδοῆς ἰνδικτιῶνος, [κα]τὰ τὴν περίληψιν τῶν γραμμάτων καὶ ἀποδείξεων, ἃς ἐδέξαντο καὶ ἔχουσιν [ἀπὸ τῶ]ν προειρημένων ἀρχόντων καὶ κεφαλάδων καὶ ἐνόχων τῆς βασιλείας μου. [εἰ δ' ἐντὸς τ]οῦ δηλωθέντος καιροῦ οἱ εἰρημένοι δανεισταὶ οὐχ ἕξουσι τὸ οἰκεῖον [δίκαιον] καὶ τὴν ἱκανοποίησιν κατὰ τὴν περίληψιν τῶν ἐγγράφων αὐτῶν, παρελ[θόντος τοῦ] χρόνου ἀμέσως ἐνέχηται ἡ βασιλεία μου ποιῆσαι τὴν ἱκανοποίησιν πρὸς [αὐτοὺς ἀ]πὸ τοῦ βεστιαρίου αὐτῆς μέχρι τῆς ὁμάδος τοῦ ἐμπεριειλημμένου κε[φαλαίου] ἐν τοῖς ἐγγράφοις αὐτῶν. ἔτι περὶ τῆς ῥηθείσης διωρίας τῶν πέντε [ἐτῶν τῆς] τρέβας τῆς ἄρτι γενομένης ἵνα τοσοῦτον ἐπιπλέον καιροῦ προχωρήσῃ, [ὅσ]ον δηλονότι ἀμφοτέροις ἀρέσκει τοῖς μέρεσι, τῇ τε βασιλείᾳ μου δηλονότι καὶ τῷ [ἐπι]φανεῖ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας· ἐπὰν δὲ ἡ βασιλεία μου ἢ αὐτὸς ὁ ἐπιφανὴς δοὺξ καὶ τὸ κουμούνιον Βενετίας μετὰ τὴν δηλωθεῖσαν διωρίαν τῶν πέντε [ἐτῶν ἐθε]λήσῃ διαλῦσαι τὴν τοιαύτην τρέβαν, ἵνα ἔχῃ μὲν ἐπ' ἀδείας ὁποιονοῦν μέρος [διαλῦσαι] αὐτήν, πλὴν δὲ οὐκ ἄλλως, εἰ μὴ πρότερον τὸ θελῆσαν μέρος διαλῦσαι αὐτὴν δηλώ[σῃ] καὶ γνώριμον καὶ φανερὸν ποιήσῃ, ὅτι οὐδὲν ἀρέσκεται ἐπὶ πλέον [ἐνέχε]σθαι εἰς αὐτὴν τὴν τρέβαν. εἶτα τῆς τοιαύτης γενομένης δηλώσεως [καὶ φανερώσεως ὀ]φείλει προτεθεῖναι καὶ ἕτερος ἑξαμηνιαῖος

Ε.Υ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καιρὸς εἰς τὴν [τρέβαν, ἵνα] καὶ οἱ ὄντες ἐκ τοῦ μέρους τῆς βασιλείας μου εἰς τὰ μέρη [τοῦ ἐπιφανοῦς δουκὸς] καὶ τοῦ κουμουνίου Βενετίας καὶ οἱ ὄντες ἐκ τοῦ μέρους τῶν [τοιούτων Βενετίκ]ων εἰς τὰ μέρη τῆς βασιλείας μου δυνηθῶσιν ὑποστρέψαι [ἕκαστος εἰς τὰ ἴδια, καὶ μεί]νωσιν ἀβλαβεῖς καὶ ἀζήμιοι διὰ τῆς τοιαύτης διωρίας [τῶν ἓξ μηνῶν. ταῦτα] πάντα, ὅσα ἐν τῷ παρόντι ὁρκωμοτικῷ διαλαμβάνονται, στέρ[ξει καὶ φυλάξει ἡ βασι]λεία μου, καθὼς καὶ ὁ ἐπιφανὴς δοὺξ Βενετίας μέλλει αὖθις [τὸν ἴσον τρόπον] ποιῆσαι γραφῆναι ὅμοιον ὁρκωμοτικὸν τούτου καὶ ἐπομό[σασθαι αὐτὸ ἐπὶ τῇ] ψυχῇ αὐτοῦ καὶ ταῖς ψυχαῖς παντὸς τοῦ μέρους καὶ τοῦ κουμουνίου [Βενε]τίας κατὰ τὴν τούτου συνήθειαν ἐνώπιον τῶν μελλόντων ἢ τοῦ ἀποσταλῆναι μέλλοντος παρὰ τῆς βασιλείας μου ἐπὶ τούτῳ καὶ ἀποστεῖλαι αὐτὸ μετ' αὐτοῦ εἰς τὴν βασιλείαν μου, καθὼς ἔταξε καὶ ὑπεσχέθη, καὶ στέρξαι καὶ κυρῶσαι πάντα καὶ ἕκαστα τὰ ῥηθέντα. τούτων οὖν πάντων ἕνεκεν τὸ παρὸν ὁρκωμοτικὸν ἐξετέθει καὶ ἐγεγόνει χρυσόβουλλον τῆς βασιλείας μου, καὶ ἐπωμόσατο τοῦτο ἡ βασιλεία μου παρόντων ἐνώπιον αὐτῆς τοῦ τε περιποθήτου ἀνεψιοῦ αὐτῆς, κυροῦ Ἀνδρονίκου Παλαιολόγου τοῦ Ἀσάνη, καὶ τοῦ περιποθήτου ἀνεψιοῦ τῆς βασιλείας μου, κυροῦ Κωνσταντίνου Παλαιολόγου τοῦ Ἀσάνη, καὶ τοῦ περιποθήτου συμπενθεροῦ τῆς βασιλείας μου, τοῦ μεγάλου λογοθέτου κυροῦ Θεοδώρου τοῦ Μετοχίτου, καὶ τοῦ συμπενθέρου τῆς βασιλείας μου, τοῦ πρωτοβεστιαρίτου κυροῦ Ἀνδρονίκου τοῦ Καντακουζηνοῦ, καὶ τοῦ ἀνεψιοῦ τῆς βασιλείας μου, μεγάλου παπίου κυροῦ Κωνσταντίνου τοῦ Παλαιολόγου, καὶ τοῦ ἀνεψιοῦ τῆς βασιλείας μου, μεγάλου δρουγγαρίου τῆς βίγλης κυροῦ Δημητρίου Παλαιολόγου τοῦ Τορνίκη, καὶ ἐδόθη τοῦτο τῷ εὐγενεῖ ἀνδρί, μπαΐούλῳ τῶν ἐν τῇ ἡμετέρᾳ βασιλείᾳ Βενετίκων, κυρῷ Θωμᾷ τῷ Σουβράντζῳ, διὰ χειρῶν τῆς βασιλείας μου κατὰ τὴν ἐπὶ τούτῳ ζήτησιν τοῦ ἐπιφανοῦς δουκὸς Βενετίας, γραφὲν ῥωμαϊκοῖς γράμμασι διὰ χειρὸς τοῦ νοταρίου τῆς βασιλείας μου, Μιχαὴλ τοῦ Κλωστομάλλου, λατινικοῖς δὲ τοῦ ἀπὸ τῶν διερμηνευτῶν τῆς βασιλείας μου, Γεωργίου τοῦ Καβαλλαροπούλου, κατὰ μῆνα ὀκτώβριον τῆς ἐνισταμένης ὀγδόης ἰνδικτιῶνος τοῦ ἑ ξ α κ ι σ χ ι λ ι ο σ τ ο ῦ ὀ κ τ α κ ο σ ι ο σ τ ο ῦ τ ρ ι α κ ο σ τ ο ῦ τ ρ ί τ ο υ ἔτους κατὰ τὴν ἡμετέραν ἀπαρίθμησιν, κατὰ δὲ τὴν τῶν Λατίνων συνήθειαν ἀπὸ τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σαρκώσεως χ ι-

λιοστοῦ τριακοσιοστοῦ εἰκοστοῦ τετάρτου ἔτους, ὃ καὶ συνήθως ἐβεβαιώθη δι' ἐρυθρᾶς οἰκειοχείρου ὑπογραφῆς τῆς βασιλείας μου καὶ ἠσφαλίσθη διὰ χρυσίνης βούλλης κάτωθεν ἀπῃωρημένης †.

† Ἀνδρόνικος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος †.

*Orig. membr. tabularii Veneti. A tergo:* ἐγεγόνει κατὰ μῆνα ὀκτώβριον τῆς ὀγδόης ἰνδικτιῶνος. *Aurea bulla, olim suspensa serico violaceo, avulsa est. Margo sinistra membranae aut avulsa aut humiditate vitiata. Partem deficientem textus graeci e versione latina scripta ad dextram et ex actis similibus supplevimus.*

## XXV. 6841—1332. mense novembri ind. I.

*Imperator Andronicus Palaeologus iunior renovat pacta cum Venetis facta in annos sex.*

† Εἰς τὸ ὄνομα τοῦ κυρίου. ἀμήν. ἐπεὶ ἀπέστειλεν ἡ βασιλεία μου τὸν τιμιώτατον δικαιοφύλακα, κῦρ Γρηγόριον τὸν Κλειδᾶν, καὶ τὸν πανσέβαστον. σεβαστὸν οἰκεῖον αὐτῇ, κῦρ Στέφανον τὸν Συρόπουλον, εἰς τὸν ἐπιφανῆ δοῦκα καὶ τὸ κουμμούνιον Βενετίας πρέσβεις ἐντελεῖς, ἔχοντας δύναμιν διὰ προκουρατορικοῦ ἡμετέρου χρυσοβούλλου τρακταΐσαι, συμφωνῆσαι καὶ ἀποκαταστῆσαι νέαν τρέβαν ἀναμέσον τῆς βασιλείας ἡμῶν καὶ τοῦ αὐτοῦ ἐπιφανοῦς δουκὸς καὶ τοῦ κουμμουνίου Βενετίας, κἀντεῦθεν κατήντησαν καὶ συνεφώνησαν καὶ ἀποκατέστησαν μετ' αὐτῶν τρέβαν ἐπὶ διωρίᾳ ἐτῶν ἕξ, ἀρχομένων ἀπὸ τῆς τετάρτης τοῦ ἰουλίου μηνὸς τῆς πεντεκαιδεκάτης ἰνδικτιῶνος, ὥστε στέργεσθαι καὶ διαμένειν τὰς προγεγονυίας τρέβας ἀπαρασαλεύτους καὶ χωρὶς τινος ἐναλλαγῆς ἐπὶ τοῖς κεφαλαίοις, ἅπερ πᾶσαι αἱ προρρηθεῖσαι γεγονυῖαι τρέβαι διαλαμβάνουσιν. ἀλλὰ δὴ καὶ ὧν ἰδίως μνείαν ποιεῖται ἡ πρὸ ὀλίγου γενομένη τρέβα μετὰ πάντων καὶ ἑκάστων κεφαλαίων, καταστάσεων καὶ προσθηκῶν γενομένων καὶ διαλαμβανομένων ἐν αὐτῇ, ὑπεσχέθησαν καὶ ἐπωμόσαντο καὶ ἕνεκεν τούτου οἱ ἡμέτεροι πρέσβεις, ἵνα στέρξῃ καὶ κυρώσῃ ἡ βασιλεία μου δι' ἐγγράφου ὁρκωμοτικοῦ αὐτῆς, ἅπερ συνεφώνησαν καὶ ἔταξαν καὶ ἀποκατέστησαν. ἡ βασιλεία μου, στέργουσα, ὅσον οὗτοι συνεφώνησαν καὶ ἐπωμόσαντο, ὡς ἔχοντες ἄδειαν καὶ δύναμιν εἰς τοῦτο διὰ τοῦ εἰρημένου προκουρατορικοῦ χρυσοβούλλου, ἤδη ἐκτίθεται τὸ παρὸν ὁρκωμοτικὸν αὐτῆς, δι' οὗ καὶ